ἀρ. ϛιχ.

Θ. Ἀλλ' οὖν προδήλως καὶ τόδ' ἴσμεν ὡς ἄρα
κινήσεων μὲν σώματος τῶνδ' ἀθρόων,
αἵπερ κέκληνται τοῦδε τρισσά τε σθένη,
αἱ ψυχικαὶ μὲν πρόσθεν ἡγοῦντ' ἐν δράσει,
ταύταις δ' ὑπουργὸς αὐτίκ' αἴσθησις πάρα,
καὶ τῇδ' ἑτοῖμος ἡ κατασκευὴ λάτρις.
τὰ τρισσὰ δ' ἔμπης σώματος ταυτὶ σθένη
ἠρτημέν' ἐστιν ὧδ' ἀπ' ἀλλήλων σφόδρα,
ὥστ' οὐ μένειν τἄλλ' ἐκλιπόντος θατέρου,
οὔτ' οὖν ἔχειν εὖ θατέρου κακουμένου·
καὶ δὴ πρὸς ὀρθὴν ἐντελῆ τε τοῦδ' ὅρου
ὡρισμένην ἅμ' ἔκθεσίν τε ληπτέα,
ὡς φύσεως τῆσδ' εὖ παριστῶντ' οὐσίαν.

Ι. Ἡ δόξ' ἄρ' ἡ πρὶν ταῖς ἐφεξῆς τῆσδ' ἅμα β. 43-53
οὖσ' ἐλλιπής τε κἀόριστος οὐκ ἄρα
τρανοῖ σαφῶς τήνδ' ἐντελῶς τε τὴν φύσιν.
ψυχὴ γὰρ οὐ δρᾷ σώματι ξύμπανθ' ὅσα (χ) η. 175
τῷδ' ἐμπέφυκε, τοῦδ' ἐνεργείας θ' ὅλας·
οὔτ' οὖν μόνη τ' αἴσθησις ἂν δρῴη τάδε,
ὀξεῖα καίπερ οὖσα τὴν δρᾶσιν σφόδρα. δ. 77
τίς ἔσθ' ὅδ' ἀρχαῖος δὲ σὺν τῷ γ' αἰθέρι
οὐδεὶς σάφ' οἶδε· τοιγὰρ οὐκ ἀρχὴ τάδε
οὐδ' εἰκότως φύσις τ' ἂν εἴη κλητέα.

ΙΑ. Ἀλλ' οὐσιωδῶς προὐκτεθειμένων ὕπο
φύσ. τί ἐστι. ἤδ' οὖν ὁριστείη ἂν ἐνταυθοῖ φύσις β. 35

κινή-

---

(χ) Γαλην. περὶ μυῶν κινήσ. β. η.